τὸ κάρη, ὅ ἐστιν ἡ κεφαλὴ, καὶ τὸ αἴρειν, τὸ ὑψοῦν, οἱονεὶ καραίρα, καὶ κατὰ συγκοπὴν κραίρα. τὸ δὲ τῆς κεφαλῆς ἥμισυ οἱ Ἀττικοὶ ἡμίκραιραν καλοῦσιν, ὡς Εὐστάθιος λέγει. Τί μύζεις;] ἀπὸ τοῦ μῦ παρῆκται τὸ μύζειν, ὃ δηλοῖ τοῖς μυκτῆρσιν ἦχον ἀποτελεῖν. Σ. Ψιλὸς αὖ στρατεύσομαι] τοῦτο εἶπεν ὅτι ἐψίλωτο. ψιλὸς δὲ, τάξις ἀγυμναστάτη, ἥτις προβάλλεται ἔμπροσθεν τοῦ στρατοπέδου, τῶν γυμνῶν καὶ ἀόπλων. καὶ ἐὰν ταραχή τις γένηται, ἐκείνη πρώτη ἀναιρεῖται. καὶ ψιλοὶ, οἱ μὴ καθωπλισμένοι μὲν, ἐν καιρῷ δὲ τῆς μάχης τῷ παρατυχόντι ἢ λίθῳ, ἢ ξύλῳ, ἢ ἄλλῳ τινὶ ὀργάνῳ χρώμενοι. ἢ τάχα ὅτι, παρὰ τὸ σκευῇ ψιλῇ χρῆσθαι. Σ. Κἀγκύψας ἔχε] καὶ ἀνακύψας ἔχε. τουτέστιν ἀνάκυψον, καὶ ἀνακύψας μένε. ἀνακύπτειν δὲ, ἄνω τὴν κεφαλὴν αἴρειν, καὶ ὁρᾷν, εἴτε τὰ ἄνω θεᾶσθαι. τοῦτο δὲ λέγειν εἰώθασιν οἱ κουρεῖς τοῖς κειρομένοις, καὶ τοῖς ἀποξυρωμένοις, ἵνα ῥᾷον, καὶ ἀσφαλέστερον τὰς αὐτῶν ὑπὸ τῷ γενείῳ τρίχας ἀποξυρῶσι. νῦν ὡς περὶ χοίρων, ὧν τὰς τρίχας καίειν βουλόμεθα, τοῦτο λέγεται, ὡς ἐκ τοῦ ἑξῆς δῆλον. Δελφάκιον] οὕτω καλεῖται ὁ μικρὸς χοῖρος. τοῦτο δ' εἴρηκεν ἀφευθεὶς ἤδη τὸν πρωκτόν. μετὰ γὰρ τὸ τυθῆναι δελφάκια φλογίζονται, ἵνα ψιλωθῶσι. Σ. Τὴν κέρκον] κέρκος, θηρίδιον τὰς ἀμπέλους βλάπτον. καὶ οὐρὰ, καὶ ἀνδρεῖον αἰδοῖον, ἢ ἀλεκτρυὼν, ἢ ἀρουραῖος μῦς. νῦν δὲ τὸ ἀνδρεῖον αἰδοῖον, ὃ καὶ οὐρὰν καλοῦσι. κάομαι δὲ, ἀττικῶς ἀντὶ τοῦ καίομαι, ὡς κλάω, ἀντὶ τοῦ κλαίω.

Μν. Ἐμοὶ μελήσει νὴ Δία. πλήν γ' ὅτι κάομαι.
Οἴμοι τάλας ὕδωρ ὕδωρ ὦ γείτονες
Πρὶν ἀντιλαβέσθαι πρωκτὸν τῆς φλογός.
Ευ. Θάῤῥει. Μν. τί θαῤῥῶ καταπεπυρπολημένος;
Ευ. Ἀλλ' οὐκέτ' οὐδὲν πρᾶγμά σοι. τὰ πλεῖστα γὰρ
Ἀποπεπόνηκας. Μν. φεῦ ἰοὺ τῆς ἀσβόλου.
Αἰθὸς γεγένημαι πάντα τὰ περὶ τὴν τράμιν.
Ευ. Μὴ φροντίσῃς, ἕτερος γὰρ αὐτὰ σπογγιεῖ.
Μν. Οἰμώξετ' ἄρ' εἴ τὸν ἐμὸν πρωκτὸν πλυνεῖ.
Ευ. Ἀγάθων ἐπειδὴ σαυτὸν ἐπιδοῦναι φθονεῖς.
Ἀλλ' ἱμάτιόν γ' οὖν χρῆσον ἡμῖν τουτῳῒ
Καὶ στρόφιον. οὐ γὰρ ταῦτά γ' ὡς οὐκ ἔστ' ἐρεῖς.
Αγ. Λαμβάνετε, καὶ χρῆσθ' οὐ φθονῶ. Ευ. τί οὖν λάβω;
Αγ. Ὅ,τι; τὸν κροκωτὸν πρῶτον ἐνδύου λαβών.
Ευ. Νὴ τὴν Ἀφροδίτην ἡδύ γ' ὄζει ποσθίου.
Αγ. Σύζωσον ἀνύσας. αἶρε νῦν στρόφιον. Ευ. ἰδού.
Μν. Ἴθι νυν κατάστειλόν με τὰ περὶ τὼ σκέλη.
Ευ. Κεκρυφάλου δεῖ καὶ μίτρας. Αγ. ἥδε μὲν οὖν
Κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ.

*Mn. Mihi curæ erit profectò, nisi hoc curæ mihi esse non debet quòd vror.*
*Heu me miserum, aquam aquam ô vicini,*
*Priusquàm apprehendat podex flammam.*
*Ev. Confide. Mn. quid confidam igni consumptus.*
*Ev. Sed non amplius ulla res & molestia tibi superest, plurima enim*
*Exantlasti. Mn. heu ob fuliginem,*
*Exustus factus sum omnes partes eas quæ sunt circa anum.*
*Ev. Ne labores, alter enim ipsas spongia absterget.*
*Mn. Flebitis igitur, si meum podicem lauabit alter.*
*Ev. Agatho quando teipsum tradere recusas,*
*Saltem pallium accommoda nobis huic,*
*Et pectoris ornamentum: non enim hæc quidem quòd non sunt, dices.*
*Ag. Sumite & vtimini, non recuso. Ev. quid igitur sumam?*
*Ag. Quidnam? Crocotulam primùm induere accipiens.*
*Ev. Per Venerem suaue quidē olet membrum virile.*
*Ag. Succinge expediens, tolle nunc pectoris ornamentum. Ev. Ecce.*
*Mn. Age nūc compone me, & indue in his partibus, quæ sunt circa crura.*
*Ev. Reticulo opus est & mitra. Ag. hæc quidem est*
*Capiti quæ circumponitur, quam ego noctu gesto.*

Bourdinus. Ἀντιλαβέσθαι.] πρὶν φλέγεσθαι καὶ ἐμπυροῦσθαι τὸν πρωκτόν. Καταπεπυρπολημένος.] κατακαυθείς. Ἀποπεπόνηκας.] μετὰ πόνου ὑπέμεινας. Ἀσβόλου.] ἄσβολος λέγεται αἰθάλη τοῦ πυρὸς ἢ στακτή. Τράμιν. πρωκτόν. φησὶ γοῦν ὁ Μνησίλοχος, ὁ πρωκτὸς τὰ περὶ ἅπαν περικέκαυται. Σπογγιεῖ.] ἀποψήσει, ἀποπλυνεῖ. Φθονεῖς.] οὐκ ἐθέλεις καὶ ἀξιοῖς. Στρόφιον.] τὸ στρογγυλὸν ζωνάριον, οὗ πρότερον μεμνήμεθα. Οὐ γὰρ ταῦτα.] καὶ γὰρ οὐκ ἀπαρνήσει ὅτι ταῦτα ἐστί σοι. Κροκωτόν.] εἶδος χιτῶνος, ἔνδυμα τὸ ἐγκύκλιον ἱμάτιον. Ποσθίου] τοῦ αἰδοίου πέος. Κατάστειλον] περίστειλον.

Bisetus. Πρὶν ἀντιλαβέσθαι] ἀντὶ τοῦ πρὶν τὴν φλόγα ἀντιλαβέσθαι τοῦ πρωκτοῦ. πρὶν τὴν φλόγα ἀνάπτειν, πυροῦν, καὶ καίειν τὸν πρωκτόν. τοῦτο γὰρ καθ' ὑπαλλαγὴν εἰρῆσθαι δοκεῖ. Τῆς ἀσβόλου] ἀσβόλη, καὶ ἄσβολος, ἡ αἰθάλη τοῦ πυρός. Σ. λέγεται δὲ παρὰ τὸ τὴν ἄσιν βάλλειν. ἄση δὲ διὰ τοῦ η, καὶ ἄσις διὰ τοῦ ι. ὁ ῥύπος. Εὐσταθ. αἰθὸς δὲ κατὰ τὸν αὐτὸν, ὁ ἀπηνθρακωμένος καλεῖται. Τὴν τράμιν] τὸν πρωκτόν. Σ. ἀλλὰ παρὰ τούτῳ ἀρσενικῶς λέγεται ὁ τράμις. σπογγιεῖ δὲ, ἀττικῶς, ἀντὶ τοῦ σπογγίσει, κοινῶς. σπογγίζειν, τῷ σπόγγῳ, εἴτε τῇ σπογγιᾷ ἀποψήχειν, ἀπομάττειν. Ἡμῖν τουτῳῒ) εἴπερ ἡ γραφὴ καλῶς ἔχει, λεκτέον τὸ ἡμῖν γενικώτερον, τὸ δὲ τουτῳῒ, εἰδικώτερον, καὶ ἀποδεικτικῶς πρὸς

τὸν